# Ορφεύς.

## 571. Λεοντίου Σχολαστικού. Ανθολ. Ελλην. Εκδ. Διδότ Τ. Δ΄ Κεφ. Ζ σ. 383

Ορφέως οιχομένοιο, τάχα τις έπλετο Μούσα·
σευ δε, Πλάτων, φθιμένοιο, πέπαυται και κιθάρη·
ην γαρ έτι προτέρων μελέων ολίγη τις απορρώξ,
εν σαις συμφορέειν και φρεσί και παλάμαις. ,,

## 517 Αντιπάτρου Θεσσαλονικέως Τ. Β΄ σ. 106. Κεφ. ΙΑ΄

Ορφεύς θήρας έτερψε, συ δ' ανέρας· Φοίβος ενίκα
τον Φρύγα, σοι δ' ήσσων μελπομένω Κινύρης,
ούνομα και τέχνης και σώματος. Σοι μεν Αθήνη
έρριψεν γλώσση θεία μελιφρονέειν,
αλλά συ ποικιλόθροες ερμηνεύσας μεν αυτών
αυτάς Πασιθέης ύπνος εν αγκαλίαις. ,,

## Ὀρφεύς.

8 Ἀντιπάτρου Σιδωνίου. — Ἀνθολ. Ἑλλ. ἐκδ. Διδότου Τ. Α΄ σ. 274

Οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
Ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μνημοσύνας, μάτηρ δ᾽ ἔξοχα Καλλιόπα.
Τί φθιμένοις στοναχεῦμεν ἐφ᾽ υἱάσιν, ἁνίκ᾽ ἀλαλκεῖν
τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις;

Σημ. αὐτόθι. Lemma: εἰς Ὀρφέα τὸν ποιητὴν τὸν Οἰάγρου — Σελ. 418
καὶ Καλλιόπης.
Jacobs comparat Ὀρφικὰ Ἀργ. 1010
κοιμήσας δ᾽ ἄρα φῦλα πανημερίων ἀνθρώπων
καὶ ζαμενεῖς ἀνέμων πνοάς, καὶ κύματα πόντου,
πηγάς τ᾽ ἀενάων ὑδάτων, ποταμῶν τε ῥέεθρα,
θῆράς τ᾽ οἰωνούς τε.

9. Δαμαγήτου. — σ. 275

Ὀρφέα Θρηΐκιον παρὰ προμαχῶσιν Ὀλύμπου
τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης,

2

# Ὀρφεύς.

ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἅμ' ἕσπετο πέτρη
ἄψυχος, θηρῶν δ' ὑλονόμων ἀγέλα,
ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου,
καὶ στίχον ἡρῴῳ ζευκτὸν ἔτευξε ποδί,
ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα
καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ."

## 10. Ἄδηλον.

Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα
ἔκλαυσαν ξανθαὶ μυρία Βιστονίδες·
στικτοὺς δ' ᾑμάξαντο βραχίονας, ἀμφὶ μελαίνῃ
δευόμεναι σποδιῇ Θρηίκιον πλόκαμον·
καὶ δ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείῳ
ἔρρηξαν Μοῦσαι δάκρυα Πιερίδες,
μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι
καὶ δρύες, ἃς ἐρατῇ τὸ πρὶν ἔθελγε λύρῃ."

σ. 392

## 617 Ἀδέσποτον

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα Μῶσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει."

# Ορφευς. Κικονία.

## 1. Ορφέως (?).

Ανθολ. Εστης Εκδ. Διδ. Τ. Γ. κεφ. Α Ζα. 1

Αργω το σκάφος εικι, θεω δ' ανέθηκεν Ιάσων
Ισθμια, η Νεμέοις γεγλυμμένον οίδυσιν.

99. (48) Επι Ορφέως κειμένω εν Κικονία „ 106 Κεφ. Β.

Θρήϊκα χρυσολύρην Οιάγρου παίδα θανόντα
Ορφέα εν χώρω τῷδε θέσαν Κίκονες. „

vs. 1. Vid. Anthol. Palat. Didot VII 617 epigr. de eodem iisdem verbis incipiens: Θρήϊκα χρυσολύρην ... in quo Musae dicuntur poetam sepelivisse, quem occiderat Jupiter — Cf. Diogen. Laert. Proem § 5. Paus IX XXX et Hygin. Astron. II. 7. — Phanocles ap. Stob. floril. tit 64. Orphei mortem cecini ut a Bistonides eum, dolis circumfusis occiderint, gladii acie bene parata" atque Thraces muliebre scelus utti sunt. „ • 231.

Αρ. 148 Μουσάων πρόπολον τῇδ' Ορφέα Θρῆικες έθηκαν „ 112
ον κτάνεν υψιμέδων Ζευς ψολόεντι βέλει
Οιάγρου φίλον υιον, ος Ηρακλῆα εδίδαξεν,
ευρων ανθρώποις γράμματα γ' σοφίην. „

2198

Ορφευς. Γήρης.

Βερόη. Εσκι Ζαγρα.

Συγγρ.
Ανθ. Παγα…
Γ. 9'
σ 31.

197. Αδέσποτον

Αγαθη τύχη

Γήρης Παίων (;) . . . Απόλλωνος εταίρον
Ορφέα δειδαξάμενος θήκεν άγαλμα τέχνης
ος θήρας και δένδρα και ερπετά και σε-
θενα
φωνή και χειρων κοίμισεν αρμονίη. »

CXCVII. In Haemo monte, Beroe, in loco hodie dicto Eski-Zagra: ex Bendi apographo edidit v. cl. Alb. Dumont. Bullet. de corr. hell. 1878 p. 400 sqq. n. 1. σ. 77.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ